ἀκολουθῆσαι ὀπίσω αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.
17 Καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ καὶ εἰκοστῷ ἔτει μιᾷ τοῦ μηνὸς 17
τοῦ πρώτου ἐγένετο λόγος κυρίου πρός με λέγων 18 Υἱὲ ἀνθρώπου, 18
Ναβουχοδονοσορ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο αὐτοῦ τὴν
δύναμιν δουλείᾳ μεγάλῃ ἐπὶ Τύρου, πᾶσα κεφαλὴ φαλακρὰ καὶ
πᾶς ὦμος μαδῶν, καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ καὶ τῇ δυνάμει
αὐτοῦ ἐπὶ Τύρου καὶ τῆς δουλείας, ἧς ἐδούλευσαν ἐπ᾽ αὐτήν.
19 τάδε λέγει κύριος κύριος Ἰδοὺ δίδωμι τῷ Ναβουχοδονοσορ βασι- 19
λεῖ Βαβυλῶνος γῆν Αἰγύπτου, καὶ προνομεύσει τὴν προνομὴν αὐ-
τῆς καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς, καὶ ἔσται μισθὸς τῇ δυνάμει
αὐτοῦ· 20 ἀντὶ τῆς λειτουργίας αὐτοῦ, ἧς ἐδούλευσεν ἐπὶ Τύρον, 20
δέδωκα αὐτῷ γῆν Αἰγύπτου. τάδε λέγει κύριος κύριος 21 Ἐν τῇ 21
ἡμέρᾳ ἐκείνῃ ἀνατελεῖ κέρας παντὶ τῷ οἴκῳ Ισραηλ, καὶ σοὶ δώσω
στόμα ἀνεῳγμένον ἐν μέσῳ αὐτῶν· καὶ γνώσονται ὅτι ἐγώ εἰμι
κύριος.
1 Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων 2 Υἱὲ ἀνθρώπου, προ- 30
φήτευσον καὶ εἰπόν Τάδε λέγει κύριος Ὦ ὢ ἡ ἡμέρα, 3 ὅτι ἐγγὺς 3
ἡ ἡμέρα τοῦ κυρίου, ἡμέρα πέρας ἐθνῶν ἔσται. 4 καὶ ἥξει μάχαιρα 4
ἐπ᾽ Αἰγυπτίους, καὶ ἔσται ταραχὴ ἐν τῇ Αἰθιοπίᾳ, καὶ πεσοῦνται
τετραυματισμένοι ἐν Αἰγύπτῳ, καὶ συμπεσεῖται αὐτῆς τὰ θεμέλια.
5 Πέρσαι καὶ Κρῆτες καὶ Λυδοὶ καὶ Λίβυες καὶ πάντες οἱ ἐπίμικτοι 5
καὶ τῶν υἱῶν τῆς διαθήκης μου μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ. 6 καὶ 6
πεσοῦνται τὰ ἀντιστηρίγματα Αἰγύπτου, καὶ καταβήσεται ἡ ὕβρις
τῆς ἰσχύος αὐτῆς ἀπὸ Μαγδώλου ἕως Συήνης· μαχαίρᾳ πεσοῦνται
ἐν αὐτῇ, λέγει κύριος. 7 καὶ ἐρημωθήσεται ἐν μέσῳ χωρῶν ἠρημω- 7
μένων, καὶ αἱ πόλεις αὐτῶν ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται·
8 καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος, ὅταν δῶ πῦρ ἐπ᾽ Αἴγυπτον 8
καὶ συντριβῶσι πάντες οἱ βοηθοῦντες αὐτῇ. 9 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ 9
ἐξελεύσονται ἄγγελοι σπεύδοντες ἀφανίσαι τὴν Αἰθιοπίαν, καὶ ἔσται

16 αυτων] pr. των καρδιων A | κυριος: cf. 3 || 18 αυτου / την δυν. B†] tr. rel. | φαλακρα] -κρωμα A | τυρου ult. pau.] τυρον rel. | εδουλευσαν επ αυτην] εδουλευσεν αυτην A(†) || 19 init. B†] pr. δια τουτο rel. (in *O* sub ※) | κυριος κυριος (cf. 2 4)] αδωναι κυριος A: item in 20, cf. 5 5 | ιδου] + εγω B: cf. 𝔐 | αιγυπτου B†] + και λη(μ)ψεται το πληθος αυτης rel. (in *O* sub ※) || 20 λειτουργ.] δουλειας A | αυτου > A† | αιγυπτου B(†)] + οσα εποιησαν (uel sim.) μοι rel. (in *O* sub ※) | κυριος κυριος: cf. 19 || 21 σοι δωσω] tr. A

30 2 κυριος BA pau.] pr. αδωναι rel.: item in 6, cf. 5 5 | η > B || 3 η > B | ημερα 2⁰ B†] + νεφελης rel. (in *O* sub ※) | περας] pr. (sic) καιρος A: sic uertit θ′ || 4 μαχαιρα] pr. η A | αιγυπτιους] -πτον A pau. | τη] γη B pau. | πεσουνται] pr. συμ B†: ex seq. | και ult. B†] pr. και λημψονται το πληθος αυτης uel sim. rel. (in *O* sub ※) | αυτης / τα θεμ. B†] tr. rel. || 5 επιμικτοι] + επ αυτην A | των] pr. απο A | μαχ. πεσ. / εν αυτη B†] tr. rel.: cf. 𝔐 || 6 σουηνης A | κυριος: cf. 2 || 7 ηρημωμενων 1⁰ B†] ηφανισμενων rel. (in *O* sub ※ [sic]) || 8 γνωσ.] + παντες A | συντριβησονται A